γάρ. — *καὶ ἡ Ἄγνοια μένει ἐν τούτοις* Pacd.: *καὶ ἢ Ἄγνοια μένει ἐν τούτοις δέ* Pb. *καὶ ἡ Ἄγνοια μένει, καὶ ἐν τούτοις* M. *καὶ ἡ Ἄγνοια μένει.* V. Vel *ἐν τούτοις* vel *καὶ ἐν τούτοις* ex antecedentibus a librariis insertum esse videtur. Ceterum verba Hospiti tribuenda sunt, non Seni, ut vulgo fit, cum *νὴ Δία* formula semper responsum alterutrius indicet. cf. 14, 2. 16, 5. 26, 2. 39. 2 ubi sine *ἔφην* vel *ἔφη* responsum incipit, 28, 1 ubi *ἔφη* insertum quidem est, sed non eodem loco in omnibus codd. man. — *μετ᾽ αὐτῆς γε* M. Pac. V.: *μετ᾽ αὐτῶν γε* Pbd. — *τὴν τούτων καθαρτικὴν δύναμιν* Pbcd. V. O.: *τὰς τούτων καθαρτικὰς δυνάμεις* M. Pa. cf. 19, 1. 19, 4. 22, 1. — *εἶθ᾽ ὅταν καθαρθῶσι* M. Pac.: haec tria vocabula desunt in Pbd. V. O., qui idcirco dein *τότε γὰρ ἂν οὕτως* habent, ubi *γάρ* ignorant ceteri. cf. 19, 1,

XV. *παιδείαν; ἔφην* Pa.: *παιδείαν* ceteri. — *ὁρᾷς, ἔφη, ἄνω* M. Pbcd. V.: *ὁρᾷς ἄνω, ἔφη* Pa. — *οὐδείς* M. Pc. V.: *οὐθείς* Pabd. 2. *ὀλίγοι πάνυ* M. Pa.: *πάνυ ὀλίγοι* Pbcd. V.

πάνυ πορεύονται, ὥσπερ δυσανόδου τινὸς καὶ τραχείας καὶ πετρώδους εἶναι δοκούσης;

Ξ. *Καὶ μάλα, ἔφην.*

3 Π. *Οὐκοῦν καὶ βουνός τις ὑψηλὸς δοκεῖ εἶναι, καὶ ἀνάβασις στενὴ πάνυ, καὶ κρημνοὺς ἔχουσα ἔνθεν παὶ ἔνθεν βαθεῖς;*

Ξ. *Ὁρῶ.*

Π. *Αὕτη τοίνυν ἐστὶν ἡ ὁδὸς, ἔφη, ἡ ἄγουσα πρὸς τὴν ἀληθινὴν Παιδείαν.*

4 Ξ. *Καὶ μάλα γε χαλεπὴ προςιδεῖν.*

Π. *Οὐκοῦν καὶ ἄνω γ' ἐπὶ τοῦ βουνοῦ ὁρᾷς πέτραν τινὰ μεγάλην, καὶ ὑψηλὴν, καὶ κύκλῳ ἀπόκρημνον;*

Ξ. *Ὁρῶ, ἔφην.*

XVI. Π. *Ὁρᾷς οὖν καὶ γυναῖκας δύο ἑστηκυίας ἐπὶ τῆς πέτρας, λιπαρὰς καὶ εὐεκτούσας τῷ σώματι, ὡς ἐκτετάκασι τὰς χεῖρας προθύμως;*

Ξ. *Ὁρῶ· ἀλλὰ τίνες καλοῦνται, ἔφην, αὗται;*

2 Π. *Ἡ μὲν, Ἐγκράτεια καλεῖται· ἔφη· ἡ δὲ, Καρτερία· εἰσὶ δὲ ἀδελφαί.*

Ξ. *Τί οὖν τὰς χεῖρας ἐκτετάκασιν οὕτω προθύμως;*

3 Π. *Παρακαλοῦσιν, ἔφη, τοὺς παραγιγνομένους ἐπὶ τὸν τόπον, θαῤῥεῖν, καὶ μὴ ἀποδειλιᾶν, λέγουσαι, ὅτι βραχὺ ἔτι δεῖ καρτερῆσαι αὐτοὺς, εἶτα ἥξουσιν εἰς ὁδὸν καλήν.*

— *ὥσπερ δυσανόδου τινός* Pbcd. V. O.: *ὥσπερ ἀνοδίας τινός* M. *ὥσπερ δι' ἀνοδίας τινός* Pa. — 3. *ἔνθεν καὶ ἔνθεν* M. P.: *ἔνθεν κἀκεῖθεν* V. 4. *ἄνω γ' ἐπί*] *ἄνω γε ἐπί* Pbd. *ἄνω ἐπί* M. Pa. *ἄνω γε περί* Pc. V. O. — *πέτραν τινά* Pa.: *πέτραν* ceteri. — *καὶ κύκλῳ* M. Pa.: *κύκλῳ* Pbcd.

XVI. *ἐπὶ τῆς πέτρας* V.: *ἐπὶ τῇ πέτρᾳ* M. Pa. *ἐπὶ τὴν πέτραν* Pcd. cf. 7, 1. 7, 3. 8, 1. 18, 1. 18, 3. 30, 3. 21, 3. 5, 1. 15, 4. — *εὐεκτούσας* P. V.: *εὐτάκτους* M. — *ὡς* M. Pa.: *καὶ ὡς* Pbcd. V. 2. *οὕτω προθύμως* M. Pbcd. V.: *προθύμως*

Ξ. *Ὅταν οὖν παραγένωνται ἐπὶ τὴν πέτραν, πῶς* 4
ἀναβαίνουσιν; ὁρῶ γὰρ ὁδὸν φέρουσαν οὐδεμίαν ἐπ᾽ αὐτήν.

Π. *Αὗται ἀπὸ τοῦ κρημνοῦ προςκαταβαίνουσι,*
καὶ ἕλκουσιν αὐτοὺς ἄνω πρὸς αὐτάς. εἶτα κελεύου-
σιν αὐτοὺς διαναπαύσασθαι. καὶ μετὰ μικρὸν διδόασιν 5
ἰσχὺν καὶ θάρσος, καὶ ἐπαγγέλλονται αὐτοὺς κατα-
στήσειν πρὸς τὴν ἀληθινὴν Παιδείαν· καὶ δεικνύουσιν αὐτοῖς τὴν ὁδὸν, ὡς ἔστι καλή τε, καὶ ὁμαλὴ, καὶ εὐπόρητος καὶ καθαρὰ παντὸς κακοῦ, ὥσπερ ὁρᾷς.

Ξ. *Ἐμφαίνεται, νὴ Δία.*

XVII. *Ὁρᾷς οὖν, ἔφη, ἔμπροσθεν τοῦ ἄλσους ἐκείνου καὶ τόπον τινά, ὃς δοκεῖ καλός τε εἶναι, καὶ λειμωνοειδὴς, καὶ φωτὶ πολλῷ καταλαμπόμενος;*

Ξ. *Καὶ μάλα.*

Π. *Κατανοεῖς οὖν ἐν μέσῳ τῷ λειμῶνι περίβο-* 2
λον ἕτερον, καὶ πύλην ἑτέραν;

Ξ. *Ἔστιν οὕτως. Ἀλλὰ τίς καλεῖται ὁ τόπο οὗτος;*

Π. *Εὐδαιμόνων οἰκητήριον, ἔφη· ὧδε γὰρ δια-* 3
τρίβουσιν αἱ Ἀρεταὶ πᾶσαι, καὶ ἡ Εὐδαιμονία.

Ξ. *Εἶεν, ἔφην ἐγὼ, ὡς καλὸν λέγεις τὸν τόπον εἶναι.*

XVIII. *Π.* *Οὐκοῦν παρὰ τὴν πύλην ὁρᾷς, ἔφη,*

οὕτως Pa. 4. *ἐπ᾽ αὐτήν* Pbcd. V.: *ἐπ᾽ αὐτάς* M. Pa. „quod si placet, continuo dein pro *αὗται* legam *αὐταί*“ Schweigh. — *πρὸς ἑαυτάς* Pbcd. V.: *πρὸς αὐτάς* M. Pa. 5. *καταστήσειν* M. Pa.: *καταστῆσαι* Pbcd. V. — *ἐμφαίνεται*] cdd. man. *ἐμφαίνει* hoc loco, 18, 2 et 21, 3. Sed cum impersonaliter usurpatum *ἐμφαίνει* nusquam inveniatur, non dubium est, quin vel compendio vel errore pro *ἐμφαίνεται* scriptum sit.

XVII. *ἐκείνου καὶ τόπον* M.: *ἐκείνου τόπον* P. V. O. — *οὖν ἐν* P. M. O.: *οὖν καὶ ἐν* V. — *ἐν μέσῳ τῷ λειμῶνι* M. Pa.: *ἐν μέσῳ τοῦ λειμῶνος* Pbcd. V. O.

ὅτι γυνή τις ἐστὶ, καλὴ καὶ καθεστηκυῖα τὸ πρόσωπον, μέση δὲ καὶ κεκριμένη ἤδη τῇ ἡλικίᾳ, στολὴν δ' ἔχουσα ἁπλῆν τε καὶ ἀκαλλώπιστον; ἕστηκε δὲ οὐκ ἐπὶ στρογγύλου λίθου, ἀλλ' ἐπὶ τετραγώνου,
2 ἀσφαλῶς κειμένου. καὶ μετὰ ταύτης ἄλλαι δύο εἰσὶ, θυγατέρες τινὲς δοκοῦσαι εἶναι.

Ξ. Ἐμφαίνεται οὕτως ἔχειν.

Π. Τούτων τοίνυν ἡ μὲν ἐν τῷ μέσῳ, Παιδεία ἐστίν· ἡ δὲ, Ἀλήθεια· ἡ δὲ, Πειθώ.

3 Ξ. Τί δὲ ἕστηκεν ἐπὶ λίθου τετραγώνου αὕτη;

Π. Σημεῖον, ἔφη, ὅτι ἀσφαλής τε καὶ βεβαία ἡ πρὸς αὐτὴν ὁδός ἐστι τοῖς ἀφικνουμένοις, καὶ τῶν διδομένων ἀσφαλὴς ἡ δόσις τοῖς λαμβάνουσι.

4 Ξ. Καὶ τίνα ἐστὶν, ἃ δίδωσιν αὕτη;

Π. Θάρσος, καὶ ἀφοβία, φη ἐκεῖνος.

Ξ. Ταῦτα δὲ τίνα ἐστίν ἔ;

Π. Ἐπιστήμη, ἔφη, τοῦ μηδὲν ἄν ποτε δεινὸν παθεῖν ἐν τῷ βίῳ.

XIX. Ξ. Ὦ Ἡράκλεις, ὡς καλὰ, ἔφην, τὰ δῶρα. Ἀλλὰ τίνος ἕνεκεν οὕτως ἔξω τοῦ περιβόλου ἕστηκεν;

Π. Ὅπως τοὺς παραγενομένους, ἔφη, θεραπεύῃ

XVIII. *μέση καὶ κεκριμένη ἤδη τῇ ἡλικίᾳ*] Wolfius in notis: *κ. ἡ.* intelligo *τὴν ἐπὶ τὸ γῆρας μᾶλλον νεύουσαν.* etsi fortasse legendum *κεκλιμένῃ*, ut alludat ad Platonicum illud: Beatum esse, cui vel in senectute contigerit veras habere de rebus opiniones. — *ἀκαλλώπιστον* conj. Wolfius pro *καλλωπισμόν*, quod omnes codd. man. habent excepto Pb., in quo a secunda manu in *ἀκαλλώπιστον* mutatum est. cf. 20, 2. 2. *μετὰ ταύτης* P. V.: *μετ' αὐτῆς* M. — *δοκοῦσαι* Pabd.: *δοκοῦσιν* M. Pc. V. — *ἐμφαίνεται*] cf. ad 16, 5. 4. *ἀφοβία* M. Pcd. Pb. a sec. manu. V.: *ἀφοβίαν* Pa. Pb. ex prima scriptura.

XIX. *ὦ Ἡράκλεις* M.: *Ἡράκλεις* P. V. — *οὕτως ἔξω τοῦ π. ἕστηκεν* M. Pa.: *ἔξω τοῦ π. ἕστηκεν οὕτως* Pbcd. V. — *παραγενομένους* Pbcd. V.: *παραγενομένους* M. Pa. *αὐτοὺς εἰσάγει*

*καὶ ποτίζῃ τὴν καθαρτικὴν δύναμιν. εἶθ᾽, ὅταν κα-
θαρθῶσιν, οὕτως αὐτοὺς εἰςάγει πρὸς τὰς Ἀρετάς.*

Ξ. *Πῶς τοῦτο; ἔφην ἐγώ. οὐ γὰρ συνίημι.* 2

Π. *Ἀλλὰ συνήσεις, ἔφη. ὡς ἄν, εἴ τις φιλοτίμως
κάμνων ἐτύγχανε, πρὸς ἰατρὸν ἂν δήπου γενόμενος,
πρότερον καθαρτικοῖς ἐξέβαλε τὰ νοσοποιοῦντα· εἶτα
οὕτως ἂν αὐτὸν ὁ ἰατρὸς εἰς ἀνάληψιν καὶ ὑγίειαν
κατέστησεν· — εἰ δὲ μὴ ἐπείθετο οἷς ἐπέταττεν,* 3
*εὐλόγως ἂν δήπου ἀπωσθεὶς ἐξώλετο ὑπὸ τῆς
νόσου.* —

Ξ. *Ταῦτα μὲν συνίημι, ἔφην ἐγώ.*

Π. *Τὸν αὐτὸν δὴ τρόπον, ἔφη, καὶ πρὸς τὴν* 4
*Παιδείαν ὅταν τις παραγίγνηται, θεραπεύει αὐτὸν
καὶ ποτίζει τὴν ἑαυτῆς δύναμιν, ὅπως ἐκκαθάρῃ πρῶ-
τον καὶ ἐκβάλῃ τὰ κακά, ὅσα ἔχων ἦλθε.*

Ξ. *Ποῖα ταῦτα;*

Π. *Τὴν ἄγνοιαν καὶ τὸν πλάνον, ὃν παρὰ τῆς* 5
*Ἀπάτης ἐπεπώκει, καὶ τὴν ἀλαζονείαν, καὶ τὴν ἐπι-
θυμίαν, καὶ τὴν ἀκρασίαν, καὶ τὸν θυμόν, καὶ τὴν
φιλαργυρίαν, καὶ τὰ λοιπὰ πάντα, ὧν ἀνεπλήσθη ἐν
τῷ πρώτῳ περιβόλῳ.*

M. Pb.: *εἰσάγει αὐτούς* Pa. *αὐτοὺς εἰσάγῃ* Pcd. V. 2. *φιλοτίμως* omnes cdd. man. nisi quod M. *φιλότιμος* habet. Wolfius in notis: „durum pro *χαλεπῶς* aut *φιλοπόνως*, sedulo." O. vertit: graviter. Photius et Suidas interpretantur: *μεγαλοδώρως, ὑπερμέτρως*. cf. Luc. Tim. 10. Pol. 4, 32, 1. Herodian. 5, 3, 9. 4, 2, 17. Corais conj. *φιλόθοινος*, quod ex analogia quidem est, sed non ex usu. Equidem aliquando suspicatus eram *φιλήδονος*. — *δήπου παραγενόμενος* Pc.: *δήπου γενόμενος* Pabd. M. *δήπου γινόμενος* V. *παραγίγνεσθαι* = pervenire novies in pin. invenitur, *γίγνεσθαι* numquam. — *ἐξέβαλε τὰ νοσοποιοῦντα* M. Pa.: *ἐξέβαλε πάντα τὰ νοσοποιοῦντα* Pbcd. V. O. — *αὐτὸν ὁ ἰατρὸς* M. Pc. V.: *αὐτὸς ὁ ἰατρός* Pbd. *ὁ ἰατρὸς αὐτόν* Pa. 4. *τὸν αὐτον δή* M. *τὸν αὐτὸν τοίνυν* P. V. *κατέστησεν* P.: *καθέστησεν* M. *καθέστηκεν* V. Wolfius in ora *κατέστησεν*. 5. *ὃν* Pabd. V.: *ἃ* M. Pc. cf. 25, 2.

XX. Ξ. Ὅταν οὖν καθαρθῇ, ποῖ αὐτὸν ἀποστέλλει;

Π. Ἔνδον, ἔφη, πρὸς τὴν Ἐπιστήμην, καὶ πρὸς τὰς ἄλλας Ἀρετάς.

Ξ. Ποίας ταύτας;

2 Π. Οὐχ ὁρᾷς, ἔφη, ἔσω τῆς πύλης χορὸν γυναικῶν, ὡς εὐειδεῖς δοκοῦσιν εἶναι, καὶ εὔτακτοι, καὶ στολὴν ἀτρύφερον καὶ ἁπλῆν ἔχουσαι· ἔτι τε ὡς ἄπλαστοί εἰσι, καὶ οὐδαμῶς κεκαλλωπισμέναι καθάπερ αἱ ἄλλαι;

3 Ξ. Ὁρῶ, ἔφην· ἀλλὰ τίνες αὗται καλοῦνται;

Π. Ἡ μὲν πρώτη, Ἐπιστήμη, ἔφη, καλεῖται. αἱ δὲ ἄλλαι ταύτης ἀδελφαί, Ἀνδρεία, Δικαιοσύνη, Καλοκἀγαθία, Σωφροσύνη, Εὐταξία, Ἐλευθερία, Ἐγκράτεια, Πρᾳότης.

4 Ξ. Ὦ κάλλιστε, ἔφην ἔγωγε, ὡς ἐν μεγάλῃ ἐλπίδι ἐσμέν.

Π. Ἐὰν συνῆτε, ἔφη, καὶ ἕξιν περιποιήσησθ' ὧν ἀκούετε.

Ξ. Ἀλλὰ προσέξομεν ὡς μάλιστα, ἔφην ἔγωγε.

Π. Τοιγαροῦν, ἔφη, σωθήσεσθε.

XXI. Ξ. Ὅταν οὖν παραλάβωσιν αὐτὸν αὗται, ποῖ ἀπάγουσι;

Π. Πρὸς τὴν μητέρα, ἔφη.

Ξ. Αὕτη δὲ τίς ἐστιν;

Π. Εὐδαιμονία, ἔφη.

XX. 2. ἔχουσαι] ἔχουσιν omnes cdd. m. vid. praef. 4. κάλλιστε omnes cdd. m.: κάλλισται V. — ὡς μάλιστα, ἔφην ἔγωγε V.: ἔφην, ὡς ἐγῷμαι μάλιστα M. ἔφη ὡς ἐγὼ μὴ μάλιστα Pa. ἔφην ἔγωγε μάλιστα Pb. ἔφην ὡς ἔγωγε μάλιστα Pcd. Videtur glossa parum intellecta velut ὡς ἔγωγε δύναμαι in textum irrepsisse.

XXI. ποῖ ἀπάγουσι] ποῦ ἀπάγουσι M. Pbcd. V. ποῦ

Ξ. *Ποία δ' ἐστὶν αὕτη;*

Π. *Ὁρᾷς τὴν ὁδὸν ἐκείνην, τὴν φέρουσαν ἐπὶ* 2
*τὸ ὑψηλὸν ἐκεῖνο, ὅ ἐστιν ἀκρόπολις τῶν περιβόλων
πάντων;*

Ξ. *Ὁρῶ.*

Π. *Οὐκοῦν ἐπὶ τοῦ προπυλαίου γυνὴ [καθεστη-* 3
*κυῖα] εὐειδής τις κάθηται ἐπὶ θρόνου ὑψηλοῦ, κεκοσ-
μημένη ἐλευθέρως καὶ ἀπεριέργως, καὶ ἐστεφανωμένη
στεφάνῳ εὐανθεῖ πάνυ καὶ ποικίλῳ;*

Ξ. *Ἐμφαίνεται οὕτως.*

Π. *Αὕτη τοίνυν ἐστὶν ἡ Εὐδαιμονία, ἔφη.*

XXII. Ξ. *Ὅταν οὖν ὧδέ τις παραγένηται, τί ποιεῖ;*

Π. *Στεφανοῖ αὐτὸν, ἔφη, τῇ ἑαυτῆς δυνάμει ἥ τε Εὐδαιμονία, καὶ αἱ ἄλλαι Ἀρεταὶ πᾶσαι, ὥσπερ νενικηκότα τοὺς μεγίστους ἀγῶνας.*

Ξ. *Καὶ ποίους ἀγῶνας νενίκηκεν αὐτός; ἔφην ἐγώ.*

Π. *Τοὺς μεγίστους, ἔφη, καὶ τὰ μέγιστα θηρία,* 2
*ἃ πρότερον αὐτὸν κατήσθιε, καὶ ἐκόλαζε, καὶ ἐποίει
δοῦλον. ταῦτα πάντα νενίκηκε, καὶ ἀπέῤῥιψεν ἀφ'
ἑαυτοῦ, καὶ κεκράτηκεν ἑαυτοῦ, ὥστε ἐκεῖνα νῦν
τούτῳ δουλεύουσι, καθάπερ οὗτος ἐκείνοις πρότερον.*

XXIII. Ξ. *Ποῖα ταῦτα λέγεις τὰ θηρία; πάνυ γὰρ ἐπιποθῶ ἀκοῦσαι.*

ἄγουσι Pa. 3. *πάνυ καὶ ποικίλῳ* M.: *πάνυ καλῷ* Pa. *πάνυ καλῶς* Pbcd. V. O. — *ἐμφαίνεται οὕτως*] *ἐμφαίνει οὕτως* M. Pa. *ἐμφαίνει οὕτως ἔχειν* Pc. V. *ἐμφαίνει οὕτως εἶναι* Pbd. Pc. in ora.

XXII. *ἥ τε Εὐδαιμονία* Pa. *ἡ Εὐδαιμονία* Pbcd. V. — *νενικηκότα* Pb. a secunda manu: *τοὺς νενικηκότας* ceteri omnes.

XXIII. *ποῖα ταῦτα λέγεις τὰ θηρία;*] *ποῖα ταῦτα λέγεις θηρία* M. Pa. *ποῖα λέγεις ταῦτα τὰ θηρία* Pbcd. V. cf. 2, 2. *τοῦτο δὲ τί ἐστι τὸ ποτόν;* — *ἐπιποθῶ* M. Pacd.: *ἐπιθυμῶ*

Π. Πρῶτον μὲν, ἔφη, τὴν Ἄγνοιαν, καὶ τὸν Πλάνον. ἢ οὐ δοκεῖ σοι θηρία ταῦτα εἶναι;

Ξ. Καὶ πονηρά γε, ἔφην ἐγώ.

2 *Π. Εἶτα τὴν Λύπην, καὶ τὸν Ὀδυρμὸν, καὶ τὴν Ὑπερηφάνειαν, καὶ τὴν Φιλαργυρίαν, καὶ τὴν Ἀκρασίαν, καὶ τὴν λοιπὴν ἅπασαν Κακίαν. πάντων τούτων κρατεῖ, καὶ οὐ κρατεῖται, ὥσπερ τὸ πρότερον.*

3 *Ξ. Ὢ καλῶν τῶν ἔργων, ἔφην ἐγὼ, καὶ καλῆς τῆς νίκης. Ἀλλ' ἐκεῖνο ἔτι μοι εἰπέ. τίς ἡ δύναμις τοῦ στεφάνου, ᾧ ἔφης στεφανοῦσθαι αὐτόν;*

4 *Π. Εὐδαιμονική, ὦ νεανίσκε. ὁ γὰρ στεφανωθεὶς ταύτῃ τῇ δυνάμει, εὐδαίμων γίγνεται καὶ μακάριος, καὶ ἔχει οὐκ ἐν ἑτέροις τὰς ἐλπίδας τῆς εὐδαιμονίας, ἀλλ' ἐν αὐτῷ.*

XXIV. *Ξ. Ὡς καλὸν τὸ νίκημα λέγεις. Ὅταν δὲ στεφανωθῇ, τί ποιεῖ, ἢ ποῖ βαδίζει;*

2 *Π. Ἄγουσιν αὐτὸν ὑπολαβοῦσαι αἱ Ἀρεταὶ πρὸς τὸν τόπον ἐκεῖνον, ὅθεν ἦλθε πρότερον, καὶ δεικνύουσιν αὐτῷ τοὺς ἐκεῖ διατρίβοντας, ὡς κακῶς καὶ ἀθλίως ζῶσι, καὶ ὡς ναυαγοῦσιν ἐν τῷ βίῳ, καὶ πλανῶνται, καὶ ἄγονται κατακεκρατημένοι, ὥσπερ ὑπὸ πολεμίων, οἱ μὲν ὑπ' Ἀκρασίας, οἱ δὲ ὑπ' Ἀλαζον-*

Pb. V. 2. *καὶ τὴν Ὑπερηφάνειαν* M.: deest in omnibus ceteris. — *τὸ πρότερον* Pcd. V.: *πρότερον* M. Pab. in hoc verbo desinit Pa. 3. *ὢ καλῶν τῶν ἔργων*] *ὢ καλῶν ἔργων* omnes cdd. m. omisso articulo, qui utique requiritur. cf. 19, 1. — *καλῆς τῆς νίκης* M.: *καλλίστης νίκης* Pbd. V. O. *καλλίστης τῆς νίκης* Pc. — *ᾧ ἔφης στεφανοῦσθαι αὐτόν;* V.: *ᾧ ἔφης στεφανοῦν αὐτόν* Pbcd. *ὃν ἔφης στεφανοῦν ἑαυτόν* M. — *καὶ ἔχει οὐκ* M.: *καὶ οὐκ ἔχει* Pbcd. V. — *ἐν αὐτῷ*] *ἐν αὐτῷ* M. *ἐν ἑαυτῷ* Pbcd. M. *ἐν αὑτῷ* scr. Dübner.

XXIV. *πρότερον* V.: *πρῶτον* M. Pbcd. O. cf. 25, 1. *ὅθεν ἥκει τὸ πρότερον.* 2. *τοὺς ἐκεῖ διατρίβοντας, ὡς κακῶς καὶ ἀθλίως ζῶσι* V.: *τοὺς κακῶς διατρίβοντας, ὡς κακῶς διατρίβουσι καὶ ἀθλίως ζῶσι* Pbcd. O. *τοὺς κακῶς διατρίβοντας,*

είας, οἱ δὲ ὑπὸ Φιλαργυρίας, ἕτεροι δὲ ὑπὸ Κενο-
δοξίας, ἕτεροι δὲ ὑφ' ἑτέρων κακῶν. ἐξ ὧν οὐ δύ- 3
νανται ἐκλῦσαι ἑαυτοὺς τῶν δεινῶν, οἷς δέδενται,
ὥστε σωθῆναι, καὶ ἀφικέσθαι ὧδε· ἀλλὰ ταράττονται
διὰ παντὸς τοῦ βίου. τοῦτο δὲ πάσχουσι διὰ τὸ μὴ
δύνασθαι τὴν ἐνθάδε ὁδὸν εὑρεῖν· ἐπελάθοντο γὰρ
τὸ παρὰ τοῦ Δαιμονίου πρόςταγμα.

XXV. *Ξ. Ὀρθῶς μοι δοκεῖς λέγειν. ἀλλὰ καὶ*
τοῦτο πάλιν ἀπορῶ, διὰ τί δεικνύουσιν αὐτῷ τὸν
τόπον ἐκεῖνον αἱ Ἀρεταί, ὅθεν ἥκει τὸ πρότερον.

Π. Οὐκ ἀκριβῶς ᾔδει, οὐδὲ ἠπίστατο, [ἔφη,] 2
οὐδὲν τῶν ἐκεῖ· ἀλλ' ἐνεδοίαζε, καὶ διὰ τὴν ἄγνοιαν,
καὶ τὸν πλάνον, ὃν δὴ ἐπεπώκει, τὰ μὴ ὄντα ἀγαθὰ
ἐνόμιζεν ἀγαθὰ εἶναι, καὶ τὰ μὴ ὄντα κακὰ κακά.
Διὸ καὶ ἔζη κακῶς, ὥσπερ οἱ ἄλλοι οἱ ἐκεῖ διατρί- 3
βοντες. νῦν δὲ ἀνειληφὼς τὴν ἐπιστήμην τῶν συμ-
φερόντων, αὐτός τε καλῶς ζῇ, καὶ τούτους θεωρεῖ
ὡς κακῶς πράττουσιν.

XXVI. *Ξ. Ἐπειδὰν οὖν θεωρήσῃ πάντα, τί ποιεῖ, ἢ ποῖ ἔτι βαδίζει;*

Π. Ὅποι ἂν βούληται, ἔφη· πανταχοῦ γάρ ἐστιν αὐτῷ ἀσφάλεια, ὥσπερ τῷ τὸ Κωρύκιον ἄντρον ἔχοντι. καὶ πανταχοῦ, οἷ ἂν ἀφίκηται, πάντα καλῶς

ὡς εἰκῇ διατρίβουσι καὶ ἀθλίως ζῶσι M. — *ἕτεροι δὲ ὑφ' ἑτέρων* M.: *οἱ δὲ ὑφ' ἑτέρων* Pbcd. V.

XXV. 2. *ᾔδει* Pbcd. V.: *ᾔδη* M. — *ἠπίστατο ἔφη* Pbc. V.: *ἠπίστατο* M. Pd. 3. *οἱ ἐκεῖ* Pcd. V. M.: *ἐκεῖ* Pb. — *ἀνειληφώς* M.: *ἀπειληφώς* Pbcd. V. — *πράττουσι*] *πράσσουσι* omnes odd. m. cf. 5, 2.

XXVI. *ποῖ ἔτι* Pbd.: *ποῦ ἔτι* M. *ποῖ* Pc. V. — *τῷ τό* M. Pc. *τὸ τό* Pd. *τό* Pb. V. — *Κωρύκιον* Pc. V.: *κύριον* M. *Κωρύκειον* Pbd. cf. Pomp. Mel. 1, 13, 8. Pausan. in Phoc. X, 6. Strab. IX, 3. — *οἷ ἄν*] *οὗ ἄν* M. Pbcd. V. *ὅπου ἄν* Pd. nescio annon *ὅποι ἄν* scribendum sit. cf. quod modo antecessit *ὅποι ἂν βούληται.* — *πάντα καλῶς* M. Pc. V.:

βιώσεται μετὰ πάσης ἀσφαλείας. ὑποδέξονται γὰρ
αὐτὸν ἀσμένως πάντες, καθάπερ τὸν ἰατρὸν οἱ κάμ-
μοντες.
2 Ξ. Πότερον οὖν κἀκείνας τὰς γυναῖκας, ἃς ἔφης
θηρία εἶναι, οὐκέτι φοβεῖται, μή τι πάθῃ ὑπ' αὐτῶν;
Π, Νὴ Δία, οὐδέν. οὐ μὴ διοχληθήσεται, οὔτε
ὑπὸ Ὀδύνης, οὔτε ὑπὸ Λύπης, οὔτε ὑπ' Ἀκρασίας,
3 οὔτε ὑπὸ Φιλαργυρίας, οὔτε ὑπὸ Πενίας, οὔτε ὑπ'
ἄλλου κακοῦ οὐδενός. ἁπάντων γὰρ κυριεύει, καὶ
ἐπάνω πάντων ἐστὶ τῶν πρότερον αὐτὸν λυπούν-
των, καθάπερ οἱ ὀφιογενεῖς. τὰ γὰρ θηρία δήπου,
τὰ πάντας τοὺς ἄλλους κακοποιοῦντα μέχρι θανά-
του, ἐκείνους οὐ λυπεῖ, διὰ τὸ ἔχειν ἀντιφάρμακον
αὐτούς. οὕτω καὶ τοῦτον οὐκέτι οὐδὲν λυπεῖ, διὰ τὸ
ἔχειν τὸ ἀντιφάρμακον.

XXVII. Ξ. Καλῶς ἐμοὶ δοκεῖς λέγειν. Ἀλλ'
ἔτι τοῦτό μοι εἰπέ· τίνες εἰσὶν οὗτοι οἱ δοκοῦντες,
ἐκεῖθεν ἀπὸ τοῦ βουνοῦ παραγίγνεσθαι; καὶ οἱ μὲν
αὐτῶν, ἐστεφανωμένοι, ἔμφασιν ποιοῦσιν εὐφροσύνης
τινός· οἱ δὲ, ἀστεφάνωτοι, λύπης καὶ ταραχῆς· καὶ
2 τὰς κνήμας καὶ τὰς κεφαλὰς δοκοῦσι τετρῖφθαι, κα-
τέχονται δὲ ὑπὸ γυναικῶν τινων.
Π. Οἱ μὲν ἐστεφανωμένοι, οἱ σεσωσμένοι εἰσὶ
πρὸς τὴν Παιδείαν, καὶ εὐφραίνονται, τετυχηκότες
3 αὐτῆς. οἱ δὲ ἀστεφάνωτοι, οἱ μὲν, ἀπεγνωσμένοι

πάντως καλῶς Pbd. — τὸν ἰατρὸν Pbcd. V. τῶν ἰατρῶν M. — οἱ κάμνοντες M.: οἱ πάσχοντες Pbcd. V. 2. οὐκέτι M.: οὐκ ἔτι Pbcd. V. — νὴ Δία conj. Schweigh. e διό, quod M. habet. 3. οὕτω] conj. Schweigh. cdd. m. omnes τοῦτο cf. var. lect. ad 37, 1.

XXVII. οἱ μὲν αὐτῶν M. Pc. V.: οἱ μὲν Pbd. — λύπης καὶ ταραχῆς M.: οἱ μὲν ἀπεγνωσμένοι Pbcd. V. cf. 27, 3. οἱ δὲ ἀστεφάνωτοι, οἱ μὲν ἀπεγνωσμένοι. — κατέχονται δὲ ὑπὸ M. V.: κατέχονται δὲ καὶ ὑπό Pbcd.

ὑπὸ τῆς Παιδείας, ἀνακάμπτουσι, κακῶς καὶ ἀθλίως διακείμενοι· οἱ δὲ ἀποδεδειλιακότες, καὶ ἀναβεβηκότες πρὸς τὴν Καρτερίαν, πάλιν ἀνακάμπτουσι, καὶ πλανῶνται ἀνοδίᾳ.

Ξ. *Αἱ δὲ γυναῖκες, αἱ μετ' αὐτῶν ἀκολουθοῦσαι,* 4
τίνες εἰσὶν αὗται;

Π. *Λῦπαι, ἔφη, καὶ Ὀδύναι, καὶ Ἀθυμίαι, καὶ Ἀδοξίαι, καὶ Ἄγνοιαι.*

XXVIII. Ξ. *Πάντα κακὰ λέγεις αὐτοῖς ἀκολουθεῖν.*

Π. *Νὴ Δία, πάντα, ἔφη, καὶ ἐπακολουθοῦσιν.*
Οὗτοι δὲ, ὅταν παραγένωνται εἰς τὸν πρῶτον περίβολον πρὸς τὴν Ἡδυπάθειαν καὶ τὴν Ἀκρασίαν,
οὐχ ἑαυτοὺς αἰτιῶνται, ἀλλ' εὐθὺς κακῶς λέγουσι 2
καὶ τὴν Παιδείαν, καὶ τοὺς ἐκεῖσε βαδίζοντας, ὡς ταλαίπωροι καὶ ἄθλιοί εἰσι καὶ κακοδαίμονες, οἳ τὸν βίον τὸν παρ' αὐταῖς καταλιπόντες κακῶς ζῶσι, καὶ οὐκ ἀπολαύουσι τῶν παρ' αὐταῖς ἀγαθῶν.

Ξ. *Ποῖα δὲ λέγουσιν ἀγαθὰ εἶναι;* 3

Π. *Τὴν ἀσωτίαν, καὶ τὴν ἀκρασίαν, ὡς εἴποι ἄν τις ἐπὶ κεφαλαίου. τὸ γὰρ εὐωχεῖσθαι βοσκημάτων τρόπῳ καὶ ἀπολαύειν μέγιστα ἀγαθὰ ἡγοῦνται εἶναι.*

XXVIII. *πάντα κακά* M. Pbd. V.: *πάντα τὰ κακά* Pc. — *καὶ ἐπακολουθοῦσιν* M.: *ἐπακολουθοῦσιν* Pbcd. *ἀκολουθοῦσιν* V. 2. *οὐχ ἑαυτούς* M. Pbd.: *οὐχὶ αὐτούς* Pc. V. Wolfius in ora: *οὐχ ἑαυτούς*. — *παρ' αὐταῖς* hic et in lin. subsequ. invitis codicibus man., qui omnes habent *παρ' αὐτοῖς*, scripsi consentiente Odaxio, vertente: qui ab earum contubernio defecerunt. — *καταλιπόντες* M. Pd.: *ἀπολιπόντες* Pbc. V. 3. *ποῖα δὲ λέγουσιν* Pbcd. V.: *ποῖα γὰρ λέγουσιν* M. „et quae etiam Bona autumant?“ O. Dübner. conj. *ποῖα δὲ καὶ λέγουσιν*. equidem malim scr. *ποῖα γ' ἄρα λέγουσιν;* — *βοσκημάτων τρόπῳ καὶ ἀπολαύειν μέγιστα ἀγαθά* M. *βοσκημάτων τρόπον ἀπόλαυσιν μεγίστων ἀγαθῶν* Pbcd. V. „Convivari enim et pecudum more scortari maximorum bonorum fruitionem arbitrantur. O.

2 XXIX. Ξ. Αἱ δὲ ἐκεῖθεν παραγιγνόμεναι ἕτε-
ραι γυναῖκες, ἱλαραί τε καὶ γελῶσαι, τίνες καλοῦνται;
Π. Δόξαι, ἔφη· καὶ ἀγαγοῦσαι πρὸς τὴν Παιδ-
είαν τοὺς εἰςελθόντας πρὸς τὰς Ἀρετάς, ἀνακάμ-
πτουσιν, ὅπως ἑτέρους ἀγάγωσι, καὶ ἀναγγείλωσιν,
ὅτι εὐδαίμονες ἤδη γεγόνασιν οὓς τότε ἀπήγαγον.
3 Ξ. Πότερον οὖν, ἔφην ἐγώ, αὗται εἴσω πρὸς τὰς
Ἀρετὰς εἰςπορεύονται;
Π. [Ἔφη, Οὔ.] οὐ γὰρ θέμις Δόξαν εἰςπορεύε-
σθαι πρὸς τὴν Ἐπιστήμην, ἀλλὰ τῇ Παιδείᾳ παραδι-
4 δόασιν αὐτούς. εἶτα, ὅταν ἡ Παιδεία παραλάβῃ,
ἀνακάμπτουσιν αὗται πάλιν, ἄλλους ἄξουσαι· ὥσπερ
αἱ νῆες, τὰ φορτία ἐξελόμεναι, πάλιν ἀνακάμπτου-
σιν, καὶ ἄλλων τινῶν γεμίζονται.

XXX. Ξ. Ταῦτα μὲν δὴ καλῶς μοι δοκεῖς, ἔφην,
ἐξηγῆσθαι. Ἀλλ' ἐκεῖνο οὐδέπω ἡμῖν δεδήλωκας,
τί προστάττει τὸ Δαιμόνιον τοῖς εἰςπορευομένοις εἰς
τὸν βίον ποιεῖν.
2 Π. Θαῤῥεῖν, ἔφη. διὸ καὶ ὑμεῖς θαῤῥεῖτε· πάν-
τα γὰρ ὑμῖν ἐξηγήσομαι, καὶ οὐδὲν ἀποκρύψω.
Ξ. Καλῶς λέγεις, ἔφην ἐγώ.
3 Π. Ἐκτείνας οὖν τὴν χεῖρα πάλιν, Ὁρᾶτε, ἔφη,
τὴν γυναῖκα ἐκείνην, ἣ δοκεῖ τυφλή τις εἶναι, καὶ
ἐπὶ λίθου στρογγύλου ἑστάναι, ἣν καὶ ἄρτι ὑμῖν
εἶπον ὅτι Τύχη καλεῖται;
Ξ. Ὁρῶμεν.

XXXI. Π. Ταύτῃ κελεύει, ἔφη, μὴ πιστεύειν,

XXIX. παραγιγνόμενοι Pbcd. V. O.: παραγενόμενοι M. cf. 27, 1. 4. — τίνες καλοῦνται M. Pcd. V. O.: τίνες αὗται καλοῦνται Pb.

XXX. 2. ὑμῖν ἐξηγήσομαι M.: ἐξηγήσομαι Pbcd. V. O. — ἀποκρύψω M.: παραλείψω Pbcd. V.

καὶ βέβαιον μηδὲν πιστεύειν, μηδὲ ἀσφαλὲς ἔχειν, ὅ
τι ἂν παρ' αὐτῆς λάβῃ τις, μηδὲ ὡς ἴδια ἡγεῖσθαι.
οὐδὲν γὰρ κωλύει, ταῦτα πάλιν ἀφελέσθαι, καὶ ἑτέ- 2
ρῳ δοῦναι· πολλάκις γὰρ τοῦτο εἴωθε ποιεῖν. καὶ
διὰ ταύτην οὖν τὴν αἰτίαν κελεύει πρὸς τὰς παρ'
αὐτῆς δόσεις ἀηττήτους γίγνεσθαι, καὶ μήτε χαίρειν
ὅταν διδῷ, μήτε ἀθυμεῖν ὅταν ἀφέληται, καὶ μήτε
ψέγειν αὐτὴν, μήτε ἐπαινεῖν. οὐδὲν γὰρ ποιεῖ μετὰ 3
λογισμοῦ, ἀλλ' εἰκῇ, καὶ ὡς ἔτυχε, πάντα, ὥσπερ
πρότερον ὑμῖν ἔλεξα. διὰ τοῦτο οὖν τὸ Δαιμόνιον
κελεύει μὴ θαυμάζειν, ὅ τι ἂν πράττῃ αὕτη, μηδὲ
γίγνεσθαι ὁμοίους τοῖς κακοῖς τραπεζίταις. καὶ γὰρ 4
ἐκεῖνοι, ὅταν μὲν λάβωσι τὸ ἀργύριον παρὰ τῶν ἀν-
θρώπων, χαίρουσι, καὶ ἴδιον νομίζουσιν εἶναι. ὅταν
δὲ ἀπαιτῶνται, ἀγανακτοῦσι, καὶ δεινὰ οἴονται πε-
πονθέναι· οὐ μνημονεύοντες, ὅτι ἐπὶ τούτῳ ἔλαβον
τὰ θέματα, ἐφ' ᾧ οὐδὲν κωλύειν τὸν θέμενον πάλιν
κομίσασθαι. ὡσαύτως τοίνυν κελεύει ἔχειν τὸ Δαι- 5
μόνιον καὶ πρὸς τὴν παρ' αὐτῆς δόσιν· καὶ μνημο-
νεύειν, ὅτι τοιαύτην ἔχει φύσιν ἡ Τύχη, ὥστε, ἃ δέ-

XXXI. *καὶ βέβαιον μηδὲν πιστεύειν μηδὲ ἀσφαλὲς ἔχειν* M. Pc. V.: *καὶ βέβαιον μηδὲν νομίζειν μηδὲ ἀσφαλὲς ἔχειν* Pbd. huic, inquit, imperat non esse credendum, nec quicquam aut stabile aut securum aut proprium existimandum — O. Pbd. manum correctoris prodere videntur. — *λάβῃ τις* M. V.: *λάβῃ* Pbc. *λάβοι* Pd. — 2. *δοῦναι* Pbd.: *διδόναι* M. Pc. V. — *ταύτην οὖν τήν* M. Pc. V.: *ταύτην τήν* Pbd. — *τὰς παρ' αὐτῆς* M. Pbd.: *τὰς ἑαυτῆς* Pc. V. Wolfius in ora *αὐτῆς*. — *ἀηττήτους* Wolfius conj.: *ἥττους* Pc. V. *ἴσους* Pbd. quod glossae debetur. *ἧττω* M. post *γίγνεσθαι* in Pb. alia glossa irrepsit: *οἷόν πως ἴσως γίγνεσθαι*. cf. Epict. dissert. 1, 18, 21. *τίς οὖν ὁ ἀήττητος; ὃν οὐκ ἐξίστησιν οὐδὲν τῶν ἀπροαιρέτων*. 3. *πραττῃ* Pc. V.: *πράττοι* M. Pbd. 4. *κωλύειν* V.: *κωλύει* M. Pbcd. infinitivum ratio gram. utique postulat; v. Krüger 55, 3, 6. 5. *κελεύει ἔχειν* M. Pc. V. O: *κελεύειν, ἔφη* Pbd. — *καὶ μνημονεύειν* M. Pc. V. O.: *μνη-*

δωκεν, ἀφελέσθαι, καὶ ταχέως πάλιν δοῦναι πολλα-
πλάσια, αὖθις δὲ ἀφελέσθαι ἃ δέδωκεν· οὐ μόνον δὲ,
6 ἀλλὰ καὶ τὰ προϋπάρχοντα. ἃ γοῦν δίδωσι, κελεύει
λαβεῖν παρ' αὐτῆς, καὶ συντόμως ἀπελθεῖν ἔχοντας
πρὸς τὴν βεβαίαν καὶ ἀσφαλῆ δόσιν.

XXXII. Ξ. Ποίαν ταύτην; ἔφην ἐγώ.

Π. Ἣν λήψονται παρὰ τῆς Παιδείας, ἣν διασω-
θῶσιν ἐκεῖ.

Ξ. Αὕτη οὖν τίς ἐστιν;

2 Π. Ἡ ἀληθὴς Ἐπιστήμη [ἔφη,] τῶν συμφερόν-
των, καὶ ἀσφαλὴς δόσις, καὶ βεβαία, καὶ ἀμετάβλη-
3 τος. φεύγειν οὖν κελεύει συντόμως πρὸς ταύτην·
καὶ ὅταν ἔλθωσι πρὸς τὰς γυναῖκας ἐκείνας, ἃς καὶ
πρότερον εἶπον ὅτι Ἀκρασία καὶ Ἡδυπάθεια καλοῦν-
ται, καὶ ἐντεῦθεν κελεύει συντόμως ἀπαλλάττεσθαι,
[καὶ μὴ πιστεύειν μηδὲ ταύταις μηδέν] ἕως ἂν πρὸς
4 τὴν Ψευδοπαιδείαν ἀφίκωνται. κελεύει οὖν αὐτοὺς
χρόνον τινὰ ἐνδιατρῖψαι, καὶ λαβεῖν ὅ τι ἂν βούλων-
ται παρ' αὐτῆς, ὥσπερ ἐφόδιον· εἶτα ἐντεῦθεν ἀπιέ-
5 ναι πρὸς τὴν ἀληθινὴν Παιδείαν συντόμως. Ταῦτ'
ἐστὶν, ἃ προςτάττει τὸ Δαιμόνιον. Ὅστις τοίνυν
παρ' αὐτά τι ποιεῖ, ἢ παρακούει, ἀπόλλυται κακὸς
κακῶς.

μονεύειν Pbd. — αὖθις δὲ ἀφελέσθαι M. Pbd.: αὖθις δὲ μόνον ἀφελέσθαι Pc. V. Wolfius in notis: αὖθις δὲ ἀφελέσθαι. τὸ μόνον redundat. 6. δίδωσι Pbd.: διδῷ M. Pc. V. cf. 8, 3. 8, 14. — λαβεῖν κελεύει Pbd.: κελεύει λαμβάνειν Pc. V. κελεύειν λαμβάνει M. cf. 31, 5. 32, 4. 33, 2. 33, 4. — ἔχοντας M. Pc.: ἔχοντα V. aut ἔχοντας, aut ἔχοντα in cd. U. O. invenit. βλέποντας Pbd.

XXXII. 2. ἔφη, τῶν συμφερόντων M. Pc. V.: τῶν συμφερόντων, ἔφη Pbd. 4. κελεύει οὖν αὐτούς] omnes cdd. man. corrupte αὐτοῖς cf. 16, 4. 32, 2. 31, 3. 31, 6. Wolfius conj. αὐτῇ sc. Ψευδοπαιδείᾳ Gronov. αὐτόθι. 5. προςτάττει] cdd. man. omnes προστάσσει. — ἀπόλλυται κακὸς κακῶς Pbc.

XXXIII. Ὁ μὲν δὴ μῦθος, ὦ ξένοι, ὁ ἐν τῷ πίνακι, τοιοῦτος ἡμῖν ἐστίν. εἰ δὲ δεῖ τι προςπυθέσθαι περὶ ἑκάστου τούτων, οὐδεὶς φθόνος. ἐγὼ γὰρ ὑμῖν φράσω.

Ξ. Καλῶς λέγεις, ἔφην ἐγώ. Ἀλλὰ τί κελεύει 2
αὐτοὺς τὸ Δαιμόνιον λαβεῖν παρὰ τῆς Ψευδοπαιδείας;

Π. Ταῦθ' ἃ δοκεῖ εὔχρηστα εἶναι.

Ξ. Ταῦτ' οὖν τίνα ἐστί;

Π. Γράμματα, ἔφη, καὶ τῶν ἄλλων μαθημάτων 3
ἃ καὶ Πλάτων φησὶν ὡσανεὶ χαλινοῦ τινος δύναμιν ἔχειν τοῖς νέοις, ἵνα μὴ εἰς ἕτερα περισπῶνται.

Ξ. Πότερον δὲ ἀνάγκη ταῦτα λαβεῖν, εἰ μέλλει 4
τις ἥξειν πρὸς τὴν ἀληθινὴν Παιδείαν, ἢ οὔ;

Π. Ἀνάγκη μὲν οὐδεμία, ἔφη· χρήσιμα μέντοι ἐστί. πρὸς δὲ τὸ βελτίους γενέσθαι οὐδὲν συμβάλλεται ταῦτα.

Ξ. Οὐδὲν ἄρα λέγεις ταῦτα χρήσιμα εἶναι πρὸς 5
τὸ βελτίους γενέσθαι ἄνδρας;

Π. Ἔστι γὰρ καὶ ἄνευ τούτων βελτίους γενέσθαι. ὅμως δὲ οὐκ ἄχρηστα κἀκεῖνά ἐστιν. ὡς γὰρ δι' 6
ἑρμηνέως συμβάλλομεν τὰ λεγόμενά ποτε, ὅμως μέντοι γε οὐκ ἄχρηστον ἦν, ἡμᾶς καὶ αὐτοὺς τὴν φωνήν,

V. O.: *ἀπόλλυται κακῶς* Pd. M. de hac formula admodum trita cf. Luc. dial. mort. 5, 2. Icarom. 33. Piscat. 44. Bis accus. 20. Philoph. 20. de Paras. 57.

XXXIII. 2. *ταῦθ' ἃ* M. Pc. V.: *ταῦτα ἃ* Pbd. 3. *ἃ καὶ Πλάτων — περισπῶνται* cf. Plat. leg. VII p. 808. Klopfer in I. diss. de Cebetis Fabula. Zwiccaviae 1818 p. 13. haec verba interpolatoris manum prodere contendit. 4. *εἰ μέλλει* M. Pbcd.: *εἰ μέλλοι* V. — *χρήσιμα* M. Pc. V. *χρήματα* Pb. sed in *χρήσιμα* mutatum. *χρῆμα* Pd. — Post *μέντοι ἐστί* in Pbd. glossa in textum irrepsit: *πρὸς τὸ συντομώτερον ἐλθεῖν.* — *συμβάλλεται* M. Pc. V.: *συμβάλλει* Pbd. 5. *ἔστι γάρ*] *οὐδέν· ἔστι γάρ* conjecit Meibomius. 6. *ἡμᾶς καὶ αὐτούς* M.: *καὶ ἡμᾶς αὐτούς* Pc. V. *καὶ ἡμᾶς αὐτῶν* Pbd. — *τὴν φωνὴν εἰδέναι. ἀκριβέστερον γὰρ ἄν τι συνήκαμεν* Pbd.: *τὴν φωνὴν*

εἰδέναι· [ἀκριβέστερον γὰρ ἄν τι συνήκαμεν·] οὕτω καὶ ἄνευ τούτων τῶν μαθημάτων οὐδὲν κωλύσει γενέσθαι.

XXXIV. Ξ. Πότερον οὐδὲν προέχουσιν οὗτοι οἱ μαθηματικοὶ πρὸς τὸ βελτίους γενέσθαι τῶν ἄλλων ἀνθρώπων;

2 Π. Πῶς μέλλουσι προέχειν, ἐπειδὰν φαίνωνται
ἠπατημένοι περὶ ἀγαθῶν καὶ κακῶν, ὥσπερ καὶ οἱ
3 ἄλλοι, καὶ ἔτι κατεχόμενοι ὑπὸ πάσης κακίας; Οὐδὲν
γὰρ κωλύει, εἰδέναι μὲν γράμματα, καὶ κατέχειν τὰ
μαθήματα πάντα, ὁμοίως δὲ μέθυσον καὶ ἀκρατῆ
εἶναι, καὶ φιλάργυρον, καὶ ἄδικον, καὶ προδότην,
καὶ τὸ πέρας ἄφρονα.

4 Ξ. Ἀμέλει πολλοὺς τοιούτους ἐστὶν ἰδεῖν.

Π. Πῶς οὖν οὗτοι προέχουσιν, ἔφη, εἰς τὸ βελτίους ἄνδρας γενέσθαι, ἕνεκα τούτων τῶν μαθημάτων;

XXXV. Ξ. Οὐδαμῶς φαίνεται, ἐκ τούτου τοῦ λόγου. Ἀλλὰ τί ἐστιν, ἔφην ἐγώ, τὸ αἴτιον, ὅτι ἐν τῷ δευτέρῳ περιβόλῳ διατρίβουσιν, ὥσπερ ἐγγίζοντες πρὸς τὴν ἀληθινὴν Παιδείαν;

ἀκριβεστέραν ἔχειν, ἄν τι συνήκαμεν M. Pc. V. „Quemadmodum enim, quae aliquando pronunciantur, per interpretem conjicimus, cum alioquin non inutile sit, si quid percepimus, voce ac lingua disertiore prosequi". O. Wolfius in notis: fortasse *κἄν τι*. Schweigh. lectionem codd. Pbd. tamquam probabilem recepit. Probabilis est prior pars. verba *αν τι συνήκαμεν* mutilata glossa esse videntur. Ita fere glossator scribere debuerat; *ἀκριβέστερον γὰρ ἄν τι συνίεμεν τὰ λεγόμενά ποτε*, sc. *εἰ αὐτοὶ τὴν φωνὴν ᾔδειμεν*. — *κωλύσει* M. Pc. V.: *κωλύει* Pbd. — *βελτίους γενέσθαι*] *βελτίους* omnes codd. man. ignorant. O. in cod. U. aut invenit aut recte supplevit. Legitur in vetere ed. Paris. et in Meibom. cf. 33, 4. 33, 5. ubi bis legitur *βελτίους γενέσθαι*. 34, 1.

XXXIV. *πότερον οὐδέν* M. Pc. V.: *πότερον οὖν οὐδέ* Pbd. 3. *ὁμοίως*] *ὅμως*?

Π. Καὶ τί τοῦτο ὠφελεῖ αὐτούς, ἔφη, ὅταν πολλάκις ἐστὶν ἰδεῖν παραγιγνομένους ἐκ τοῦ πρώτου περιβόλου ἀπὸ τῆς Ἀκρασίας, καὶ τῆς ἄλλης Κακίας, εἰς τὸν τρίτον περιβόλον, πρὸς τὴν Παιδείαν τὴν ἀληθινήν, οἳ τούτους τοὺς μαθηματικοὺς παραλλάττουσιν; Ὥστε, πῶς ἔτι προέχουσιν; ἄρα ἀκινητότεροι, ἢ δυσμαθέστεροί εἰσι. 2

Ξ. Πῶς, [ἔφην ἐγώ,] τοῦτο; 3

Π. Ὅτι οἱ μὲν ἐν τῷ πρώτῳ περιβόλῳ οὐ προσποιοῦνται ἐπίστασθαι, ἃ οὐκ οἴδασιν, οἱ δ' ἐν τῷ δευτέρῳ περιβόλῳ, εἰ μηδὲν ἄλλο, προσποιοῦνταί γε ἐπίστασθαι, ἃ οὐκ οἴδασιν. ἕως δ' ἂν ἔχωσι ταύτην τὴν δόξαν, ἀκινήτους αὐτοὺς ἀνάγκη εἶναι πρὸς τὸ ὁρμᾶν πρὸς τὴν ἀληθινὴν Παιδείαν. εἶτα, 4
τὸ ἕτερον οὐχ ὁρᾷς, ὅτι καὶ αἱ Δόξαι ἐκ τοῦ πρώτου περιβόλου εἰςπορεύονται πρὸς αὐτοὺς ὁμοίως; Ὥστε οὐδὲν οὗτοι ἐκείνων βελτίους εἰσίν, ἐὰν μὴ καὶ τούτοις συνῇ ἡ Μεταμέλεια, καὶ πεισθῶσιν, ὅτι οὐ Παιδείαν ἔχουσιν, ἀλλὰ Ψευδοπαιδείαν, δι' ἧς ἀπατῶνται. 5
οὕτω δὲ διακείμενοι, οὐκ ἄν ποτε σωθεῖεν. καὶ ὑμεῖς τοίνυν, ὦ ξένοι, ἔφη, οὕτω ποιεῖτε, καὶ ἐνδιατρίβετε

XXXV. 2. ἄρα ἢ ἀκινητότεροι M. V.: ἄρα εἰ γ' ἀκινητότεροι Pc. ἄρα εἰ γ' εὐκινητότεροι Pd. ἄρα εἰ εὐκινητότεροι Pb. suspicor scrib. esse: ἄρα ἢ γ' ἀκινητότεροι. 3. πῶς ἔφην, ἐγώ, τοῦτο Pcd.: πῶς, ἔφην, τοῦτο, ἐγώ V. de lacuna, quam hic omnes cdd. m. adhuc excussi habent, vid. praef. 4. συνῇ ἡ] articulum, quem omnes cdd. man. ignorant, ex conjectura Schweighäuseri recepi cf. 38, 4. — δι' ἧς conj. Meibom. in notis: δι' ἣν omnes cdd. m. cf. 5, 2. 5. οὕτω ποιεῖτε, καὶ ἐνδιατρίβετε scripsi ex conjectura Wolfii, quae confirmatur testimonio Odaxii: καὶ ὑμεῖς, ὦ ξένοι, ἔφη, ἐὰν οὕτω ποιῆτε καὶ ἐνδιατρίβετε M. Pbcd. quam lectionem Schweigh. in ed. min. recepit. καὶ ὑμεῖς, ὦ ξένοι, ἔφη, ἐὰν μὴ οὕτω π. καὶ ἐνδ. V. Wolfius in notis: ἐὰν μή redundare videtur. „Quocirca vos etiam, inquit, Hospites, ita facite, et quae dicuntur, quoad profeceritis, diligenter attendite.“ O. cf. 3, 4.

τοῖς λεγομένοις, μέχρις ἂν ἕξιν λάβητε. ἀλλὰ περὶ τῶν αὐτῶν πολλάκις δεῖ ἐπισκοπεῖν, καὶ μὴ διαλείπειν· τὰ δὲ ἄλλα πάρεργα ἡγήσασθαι. εἰ δὲ μή, οὐδὲν ὄφελος ἔσται ὑμῖν ὧν νῦν ἀκούετε.

XXXVI. Ξ. Ποιήσομεν. Τοῦτο δὲ ἐξήγησαι, πῶς οὐκ ἔστιν ἀγαθά, ὅσα λαμβάνουσιν οἱ ἄνθρωποι παρὰ τῆς Τύχης; οἷον τὸ ζῆν, τὸ ὑγιαίνειν, τὸ πλουτεῖν, τὸ εὐδοξεῖν, τὸ τέκνα ἔχειν, τὸ νικᾶν, καὶ
2 τὰ λοιπὰ ὅσα τούτοις παραπλήσια; ἢ πάλιν, τὰ ἐναντία πῶς οὐκ ἔστι κακά; πάνυ γὰρ παράδοξον ἡμῖν καὶ ἄπιστον δοκεῖ τὸ λεγόμενον.

Π. Ἄγε τοίνυν, πειρῶ, ἔφη, ἀποκρίνασθαι τὸ φαινόμενον περὶ ὧν ἄν σε ἐρωτῶ.

3 Ξ. Ἀλλὰ ποιήσω τοῦτο, ἔφην ἐγώ.

Π. Πότερον οὖν, κἂν κακῶς τις ζῇ, ἀγαθὸν ἐκείνῳ τὸ ζῆν;

Ξ. Οὔ μοι δοκεῖ, ἀλλὰ κακόν· ἔφην ἐγώ.

Π. Πῶς οὖν ἀγαθόν ἐστι τὸ ζῆν, ἔφη, εἴπερ τούτῳ ἐστὶ κακόν;

4 Ξ. Ὅτι τοῖς μὲν κακῶς ζῶσι, καὶ κακόν μοι δοκεῖ εἶναι· τοῖς δὲ καλῶς, ἀγαθόν.

Π. Καὶ κακὸν ἄρα λέγεις τὸ ζῆν, καὶ ἀγαθὸν εἶναι;

Ξ. Ἔγωγε.

XXXVII. Π. Μὴ οὖν ἀπιθάνως λέγε. ἀδύνατον γάρ, τὸ αὐτὸ πρᾶγμα ἅμα καὶ κακὸν καὶ ἀγαθὸν

— μέχρις ἂν ἕξιν λάβητε] cdd. m.: μέχρις ἂν ἕξιν λαβεῖν. cf. 14, 3. — ἔσται ὑμῖν M. Pc. in ora: ἔσται V. ὑμῖν ἔσται Pbcd.

XXXVI. εὐδοξεῖν M. Pc. V.: εὐδοκιμεῖν Pbd. 2. παράδοξον ἡμῖν Pbd.: ἡμῖν παράδοξον M. Pc. V. 3. κἂν M. Pc. V.: ἐὰν Pd. in Pb. septemdecim vocabula, quae sunt inde ab ἔφην ἐγώ usque ad alterum ἔφην ἐγώ desunt. — ἐκείνῳ τὸ ζῆν M. Pcd.: ἐκείνῳ V. 4. καὶ κακόν M. Pc. V.: κακόν Pbd.

XXXVII. πρᾶγμα ἅμα] ἅμα, quod utique exspectamus,

εἶναι. οὕτω μὲν γὰρ καὶ ὠφέλιμον καὶ βλαβερὸν ἂν εἴη, καὶ αἱρετὸν καὶ φευκτὸν ἅμα ἀεί.

Ξ. *Ἀπίθανον μέν. ἀλλὰ πῶς οὐκ, εἰ τὸ κακῶς* 2
ζῆν, ᾧ ἂν ὑπάρχῃ, κακόν τι ὑπάρχει αὐτῷ, κακὸν αὐτῷ τὸ ζῆν ἐστιν;

Π. *Ἀλλ' οὐ τὸ αὐτὸ, ἔφη, ὑπάρχει τὸ ζῆν τῷ κακῶς ζῆν. ἢ οὔ σοι φαίνεται;*

Ξ. *Ἀμέλει οὐδ' ἐμοὶ δοκεῖ τὸ αὐτὸ εἶναι.*

Π. *Τὸ κακῶς τοίνυν ζῆν, κακόν ἐστι· τὸ δὲ ζῆν,* 3
οὐ κακόν ἐστιν. ἐπεὶ, εἰ ἦν κακὸν, τοῖς ζῶσι καλῶς κακὸν δὴ ὑπῆρχεν, ἐπεὶ τὸ ζῆν αὐτοῖς ὑπῆρχεν, ὅπερ ἐστὶ κακόν.

Ξ. *Ἀληθῆ μοι δοκεῖς λέγειν.*

XXXVIII. Π. *Ἐπεὶ τοίνυν ἀμφοτέροις συμβαίνει τὸ ζῆν, καὶ τοῖς κακῶς ζῶσι, καὶ τοῖς καλῶς, οὐκ ἂν εἴη οὔτε ἀγαθὸν τὸ ζῆν, οὔτε κακόν· ὥσπερ οὐδὲ τὸ τέμνειν καὶ καίειν [ἐν τοῖς ἀῤῥωστοῦσίν]*

ex conj. adjeci. cf. 41, 2. 42, 4. — *οὕτω* M. V.: *τοῦτο* Pbd. 2. *ὑπάρχῃ* Pbcd.: *ὑπάρχοι* M. V. cf. 6,3. 14, 4. 26, 1. 31, 1. 3. 32, 4. 36, 2. — *κακὸν αὐτῷ τὸ ζῆν* M. Pd.: *κακὸν αὐτὸ τὸ ζῆν* Pc. V. „ipsum vivere" O. Sed etiam *τὸ ζῆν* O. sic vertit, ut dubium sit, quid O. in cod. U. invenerit; nusquam alibi *αὐτὸ τὸ ζῆν* invenitur. — *ὑπάρχει τὸ ζῆν τῷ κακῶς ζῆν* Pc. V.: *ὑπάρχει τὸ ζῆν τὸ κακῶς ζῆν* M. *ὑπάρχει τὸ ζῆν καὶ τὸ κακῶς ζῆν* . Pb. *τὸ ζῆν καὶ τὸ κακῶς ζῆν ὑπάρχει* Pd. 3. *τὸ κακῶς τοίνυν ζῆν κακόν ἐστι· τὸ δὲ ζῆν οὐ κακόν ἐστι* Pd. nisi quod posterius *ἐστι* deest. ceterorum alius aliam lacunam habet, quam uncis indicare liceat. *τὸ κακῶς τοίνυν ζῆν [. . . ζῆν] οὐ κακόν ἐστιν* M. *τὸ κακῶς τοίνυν ζῆν κακόν ἐστι [. . . κακόν ἐστιν]* Pbc. *[. . κακόν ἐστι] τὸ τοίνυν ζῆν οὐ κακόν ἐστιν* V. „itaque vivere non malum est." O. — *ἐπεὶ εἰ ἦν* M. Pbd. V.: *ἐπεὶ ἦν* Pc. — *κακὸν, τοῖς ζῶσι καλῶς κακὸν δὴ ὑπῆρχεν* Pbd. V. *κακὸν, τοῖς ζῶσι κακὸν δὴ ὑπῆρχεν* Pc. *κακὸν, [. . . κακὸν] δεῖ ὑπάρχειν* M.

XXXVIII, *οὔτε ἀγαθὸν τὸ ζῆν*] omnes cdd. m. *οὔτε ἀγαθὸν εἶναι τὸ ζῆν*. Wolfius in notis: *εἶναι* redundare videtur. cf. 37, 1. 41, 3. — *ἐν τοῖς ἀρρωστοῦσι* tamquam glossam

ἐστι νοσερὸν καὶ ὑγιεινόν· οὐκοῦν οὕτω καὶ ἐπὶ τοῦ ζῆν.

2 Ξ. Ἔστι ταῦτα.

Π. Σὺ τοίνυν οὕτω θεώρησον. πότερον ἂν βούλοιο ζῆν κακῶς, ἢ ἀποθανεῖν καλῶς καὶ ἀνδρείως;

Ξ. Ἀποθανεῖν ἔγωγε καλῶς.

3 Π. Οὐκοῦν οὐδὲ τὸ ἀποθανεῖν κακόν ἐστιν, εἴπερ αἱρετώτερόν ἐστι πολλάκις τὸ ἀποθανεῖν τοῦ ζῆν.

Ξ. Ἔστι ταῦτα.

4 Π. Οὐκοῦν ὁ αὐτὸς λόγος καὶ περὶ τοῦ ὑγιαίνειν, καὶ νοσεῖν. πολλάκις γὰρ οὐ συμφέρει ὑγιαίνειν, ἀλλὰ τοὐναντίον, ὅταν ᾖ ἡ περίστασις τοιαύτη.

Ξ. Ἀληθῆ λέγεις.

XXXIX. Π. Ἄγε δή, σκεψώμεθα καὶ περὶ τοῦ πλουτεῖν οὕτως· εἴγε θεωρεῖν ἐστιν, ὡς πολλάκις ἐστὶν ἰδεῖν, ὑπάρχοντά τινι πλοῦτον, κακῶς δὲ ζῶντα, τοῦτον καὶ ἀθλίως.

Ξ. Νὴ Δία, πολλούς γε.

2 Π. Οὐκοῦν οὐδὲν τούτοις ὁ πλοῦτος βοηθεῖ εἰς τὸ ζῆν καλῶς;

Ξ. Οὐ φαίνεται· αὐτοὶ γὰρ φαῦλοί εἰσιν.

3 Π. Οὐκοῦν τὸ σπουδαίους εἶναι, οὐχ ὁ πλοῦτος ποιεῖ, ἀλλὰ ἡ Παιδεία.

uncis inclusi. Wolfius hic lacunam esse suspicatus est, quam sic supplevit: sicut neque secare et urere. Nam aegrotantibus quidem ea salubria sunt, sanis vero noxia. In Pbd. duo alia additamenta extant, alterum post *ὑγιαινόν*: *ἀλλὰ τὸ πῶς τέμνειν*, alterum post *ἐπὶ τοῦ ζῆν*: *οὐκ ἔστι κακὸν αὐτὸ τὸ ζῆν, ἀλλὰ τὸ κακῶς ζῆν.* Quae quidem Schweigh. in editionis min. textum recepit. 2. *ἀνδρείως* M. Pbcd.: *ἀνδρίως* V. 4. *τοὐναντίον* M. Pbcd. V.: *τοὐναντίον τι* Pc. — *ὅταν ᾖ ἡ περίστασις τοιαύτη*] articulum plane necessarium invitis codd. m. adjeci. *ὅταν ᾖ περίστασις τοιαύτη* M. Pbd. V. *ὅταν ἡ περίστασις τοιαύτη* Pc.

XXXIX. *ὡς πολλάκις* Pb. V.: *οὐ πολλάκις* M. Pcd. 2. *οὐ φαίνεται* Pbcd. V.: *φαίνεται* M. 3. *οὐδὲ ὁ πλοῦτος*

Ξ. Εἰκός γε, ἐκ τούτου ἄρα τοῦ λόγου.

Π. Οὐδὲ ὁ πλοῦτος ἀγαθόν ἐστιν, εἴπερ οὐ βοη-
θεῖ τοῖς ἔχουσιν αὐτὸν εἰς τὸ βελτίους εἶναι.

Ξ. Φαίνεται οὕτως.

Π. Οὐδὲ συμφέρει ἄρα ἐνίοις πλουτεῖν, ὅταν μὴ 4
ἐπίστωνται τῷ πλούτῳ χρῆσθαι.

Ξ. Δοκεῖ μοι.

Πῶς οὖν τοῦτο ἄν τις κρινεῖ ἀγαθὸν εἶναι, ὃ
πολλάκις οὐ συμφέρει ὑπάρχειν;

Ξ. Οὐδαμῶς. 5

Π. Οὐκοῦν εἰ μέν τις ἐπίσταται πλούτῳ χρῆσθαι
καλῶς καὶ ἐμπείρως, εὖ βιώσεται· εἰ δὲ μή, κακῶς.

Ξ. Ἀληθέστατά μοι δοκεῖς τοῦτο λέγειν.

XL. *Π. Καὶ τὸ σύνολον δέ ἐστι· τὸ τιμᾶν ταῦτα*
ὡς ἀγαθὰ ὄντα, ἢ ἀτιμάζειν ὡς κακά, τοῦτο δ᾽ ἐστι
τὸ ταράττον τοὺς ἀνθρώπους καὶ βλάπτον· ὅταν τι-
μῶσι τ᾽ αὐτὰ καὶ οἴωνται διὰ τούτων μόνων εἶναι τὸ
εὐδαιμονεῖν, καὶ πάνθ᾽ ἑπομένως πράττειν ἕνεκα
τούτων, καὶ τὰ ἀσεβέστατα δοκοῦντα εἶναι μὴ παραι-
τῶνται. Ταῦτα δὲ πάσχουσι διὰ τὴν τοῦ ἀγαθοῦ 2

Pbd.: *ποῦ δὲ ὁ πλοῦτος* M. Pc. *ποῦ ὁ πλοῦτος* V. *φαίνεται οὕτως*] sic scribere placuit consentiente Odaxio, qui vertit: ita prorsus apparet, et concinnitate sermonis hanc structuram commendante. 4. *ὅταν μὴ ἐπίστωνται* conj. Schweigh. *ὅταν μὴ ἐπίστανται* codd. m. — *ἄν τις κρινεῖ* M. Pc. V.: *ἄν τις κρίνοι* Pbd. cf. 14, 4.

XL. *καὶ τὸ συνόλον δέ ἐστιν* M. Pbcd.: *καὶ τὸ συνόλον δέ* V. — *ὅταν τιμῶσι τ᾽ αὐτά*] *ὅταν τιμῶσι τε αὐτά* V. *ὅταν τιμῶνται* M. Pbcd. — *οἴωνται* M. Pbd.: *οἴονται* Pc. V. — *καὶ πάνθ᾽ ἑπομένως* omnes cdd. m.: *καὶ πάνθ᾽ ὑπομένοντες* Hemsterhusius in notis ad nescio quem locum Luciani operum conjecit. — *πράττειν* M. Pbd. M.: *πράττουσιν* Pc. V. — *μὴ παραιτῶνται* Pbd. O.: in M. Pc. V. haec vocabula desunt aperta lacuna, quae fortasse orta est, cum ab *εἶναι* ad *παραιτῶνται* librarii oculi aberrarent. — *διὰ τὴν τοῦ ἀγαθοῦ ἄγνοιαν*]. In his verbis desinit cd. Pc. cum cd. Meib. Reliqua,

ἄγνοιαν. ἀγνοοῦσι γάρ, ὅτι οὐ γίγνεται ἐκ κακῶν
3 ἀγαθόν. πλοῦτον δέ ἐστι πολλοὺς κτησαμένους ἰδεῖν ἐκ κακῶν καὶ αἰσχρῶν ἔργων, οἷον λέγω ἐκ τοῦ προδιδόναι, καὶ ληΐζεσθαι, καὶ ἀνδροφονεῖν, καὶ συκοφαντεῖν, καὶ ἀποστερεῖν, καὶ ἐξ ἄλλων πολλῶν καὶ μοχθηρῶν.

Ξ. Ἔστι ταῦτα.

XLI. Π. Εἰ τοίνυν γίγνεται ἐκ κακοῦ ἀγαθὸν μηδέν, ὥσπερ εἰκός, πλοῦτος δὲ γίγνεται ἐκ κακῶν ἔργων, ἀνάγκη μὴ εἶναι ἀγαθὸν τὸν πλοῦτον.

Ξ. Συμβαίνει οὕτως ἐκ τούτου τοῦ λόγου.

2 Π. Ἀλλ' οὐδὲ τὸ φρονεῖν γε οὐδὲ δικαιοπραγεῖν οὐκ ἔστι κτήσασθαι ἐκ κακῶν ἔργων· ὡσαύτως δὲ οὐδὲ τὸ ἀδικεῖν καὶ ἀφρονεῖν, ἐκ καλῶν ἔργων· οὐδὲ
3 ὑπάρχειν ἅμα τῷ αὐτῷ δύναται. πλοῦτον δέ, καὶ δόξαν, καὶ τὸ νικᾶν, καὶ τὰ λοιπὰ ὅσα τούτοις παραπλήσια, οὐδὲν κωλύει ὑπάρχειν τινὶ ἅμα μετὰ κακίας πολλῆς. ὥστε οὐκ ἂν εἴη ταῦτα ἀγαθά, οὐδὲ κακά· ἀλλὰ τὸ φρονεῖν μόνον ἀγαθόν, τὸ δὲ ἀφρονεῖν κακόν.

4 Ἱκανῶς μοι δοκεῖς λέγειν, ἔφην.

quae graece extant codd. Pbd. exhibent, nec deerant in codice U.

XLI. 2. τῷ αὐτῷ conj. Schweigh.: τὰ αὐτά Pbd. O. cf. 41, 3. 3. ἅμα conj. Schweigh. consentiente Odaxio vertente: multa cum pravitate: ἀλλά Pbd. — εἴη Dübnerus correxit: ᾗ Pbd. cf. 37, 1. 38, 1. Finis graece non extat. Latinam versionem paraphrasis Arabicae ab Elichmanno confectam nonnullis locis commutare visum est ea, quae ab anonymo editioni Meirianae Snecanis notis instructae adjuncta est.

Et profligavimus eam opinionem, quà illà a pravis actionibus esse creduntur.

XLII. Senex. Utique multum hoc est et idem atque illud, quod diximus, talia neque bona neque mala esse, idque eo magis, quod, si ea ex solis actionibus pravis provenirent, essent mala tantummodo. Sed ab utroque 2
genere omnia proficiscuntur ideoque diximus ea nec bona esse nec mala, sicuti somnus et vigilia nec bona sunt, nec mala. Et similiter, mea quidem sententia, 3
ambulare et sedere et reliqua, quae accidunt unicuique eorum, qui aut intelligentes sunt, aut ignorantes. Quae autem propria sunt alterutri, eorum alterum bonum, alterum malum est; sicuti tyrannis et justitia, quae duae res accidunt uni aut alteri; idque quia justitia perpetuo adhaeret intelligentia praeditis, et tyrannis nullos nisi ignorantes comitatur. Nec enim fieri potest, id quod 4
supra diximus, ut uni eidemque uno eodemque temporis momento res duae ad istum modum se habentes accidant, ita ut homo unus idemque eodem temporis momento sit dormiens et vigilans utque sit sapiens et ignarus simul, aut aliud quidlibet eorum, quae parem rationem habent.

Hospes. Ad haec ego: Toto hoc, inquam, sermone rem omnem te jam absolvisse autumo.

XLIII. Senex. Haec autem omnia, inquit, ego dico procedere ab illo principio vere divino.

Hospes. At quodnam illud est, inquam, quod tu innuis?

Senex. Vita et mors, inquit, sanitas et aegritudo, 2
divitiae et paupertas ac cetera, quae nec bona nec mala esse diximus, accidunt plerisque hominibus a non malo.

Hospes. Plane conjicimus, inquam, id necessario

3*

ex hoc sermone sequi, talia nec bona nec mala esse, ita tamen, ut haud firmus sim in judicio de istis.

3 Senex. Hoc fit, inquit, ideo, quod longe abs te abest habitus ille, quo eam sententiam animo concipias. Itaque rerum usum, quem paulo ante vobis indicavi, toto vitae vestrae curriculo persequimini, ut ea quae vobis diximus infigantur animis vestris eaque re vobis
4 accedat habitus. Si autem dubitaveritis de aliqua re, revertimini ad me, ut explicem vobis ea de re, quibus dubitatio a vobis discedat.

INDEX

verborum cum antiquissimo cujusque teste.

Ἀβεβαίως inconstanter. 7, 2. Menand.

ἀκαλλώπιστος incomptus. 18, 1. Plut.

ἀμετάβλητος immutabilis. 32, 2. Tim. Locr. Aristot.

ἀνακάμπτω declino de via, revertor 27, 3, bis. 29, 2. 29, 4, bis. Aristot. obambulo. 13, 1. Diog. L.

ἀνανήφω ad sobrietatem redeo, resipisco. 9, 3. Plut. Luc.

ἀνδροφονῶ homicidium perpetro. 40, 3. Pseudo-Hippocr. in ep. ad Democr. Strab.

ἀνοδία via invia 15, 2. (cdd. Pa. M.); 27, 3. Hippocr. Polyb.

ἀντιφάρμακον pharmacum, quod contra venenum sumitur aut gestatur. 26, 3 bis. Dioscor. Antiquioribus vel *ἀλεξιφάρμακον* vel *ἀλεξητήριον* usurpatnm est.

ἀπεγνωσμένος desperatus. 27, 3. Plut. Luc.

ἀπεριέργως non exquisite. 21. 3. Dion. Halic.

ἀπροβούλευτος inconsultus. 8, 1. Aristot.

ἀτρύφερος non delicatus. 20, 2. Teles.

βουνός collis. 15, 3. Philem. Polyb. Antiquioribus *λόφος* usurpatum est.

δικαιοπραγῶ juste ago. 41, 2. Arist. Antiquioribus *δίκαια πράττω* usurpatum est.

δύναμις medicamentum. 14, 3. 19, 1. 19, 4. 22, 1. Antiattic. pag. 91, 1. *Δυνάμεις, τὰ τῶν ἰατρῶν φάρμακα. Τιμόστρατος.* Hippocr.

δυσάνοδος ascensu difficilis 15, 2. cf. *ἀνοδία*. Cebes.

ἐγγίζω appropinquo. 35, 1. Polyb.

εἰκαῖος temerarius. 12, 3. Polyb.

ἐκποιεῖ licet. 8, 4. ex Lysia hoc verbum citat Pollux, qui explicat per *ἀρκεῖ, ἐξαρκεῖ*. eodem sensu, quo Cebes, Theophr. (Diog. L. p. 233, 5, 41.) Hippocr. Polyb. usurpant.

ἔκπτωσις calamitas. 7, 3. hoc significatu nusquam alibi quod scio hoc vocabulum invenitur.

ἔμφασιν ποιῶ = *προσποιοῦμαι* simulo. 1, 3. 27, 1. Pseudo-Aristot. *περὶ κόσμου*. Theophr.

εὐδαιμονικός beatificus. 23, 4. Diog. L.

εὐεκτῶ bona corporis habitudine sum. 16, 1. Plut.

εὐπόρητος pervius. 16, 5. Cyrill. Antiquioribus usurpatum est *εὔπορος*.

εὔτακτος modestus. 12, 2. 16, 1. (cd. M.) Posid. ap. Athen.
ἕξις facultas, peritia. 20. 4. 35, 5. Polyb.
ἐπάνω cum gen. supra 26, 3. metaphorice non nisi recentissimis velut Athen. usurpatum est.
ἐπικατοικῶ inhabito 15, 1. non nisi hoc loco invenitur.
ἐπὶ κεφαλαίου summatim. 28, 3. Polyb.
ἡδονικοί voluptarii. 13, 2. Athen.
ἴδιος peculiaris. 1, 1. Diod.
θέμα depositum. 31, 4. Plut. Antiquioribus *παρακαταθήκη* usurpatum est.
θύριον ostiolum. 10, 1. Aristoph. Plut.
καθάριος mundus. 12, 2. (cd. M. *καθάρειος*. Vulg. *καθαρά*) Aristoph. Posid.
καθεστηκώς sedatus, constans. 18, 1. de personis non ante Plut.
καταστρέφειν τὸν βίον traducere vitam. 10, 4. Plut.
κεκριμένη ἡλικία certa et constans aetas. 18, 1. non nisi hoc loco invenitur.
κενοδοξία inanis gloria. 24. 2. Polyb.
κριτικοί critici. 13, 2. v. dissert. Lehrsii de vocabulis *φιλόλογος*, *γραμματικός*, *κριτικός*. Regiom. ed. a. 1838. p. 8. seqq. Polyb.
λειμωνοειδής prato similis, floridus. 17, 1. non nisi hoc loco invenitur.
μέθυσος ebrius. 34, 3. de viris primus Menand. usurpavit, prosae orationis scriptorum primi Plut. Luc.
μετάνοια resipiscentia. 10, 4. 11, 1. LXX. eodem sensu Cebes 35, 4. usurpat *μεταμέλεια*.
ναυαγῶ naufragium facio. 24, 2. metaphorice Aeschyl., prosae or. scriptorum primus Pseudo-Dem., tum Posidippus usurpavit.
οἰκητήριον domicilium. 17, 3. Eurip. Plut.
ὀπίσω cum gen. post. 10, 1. LXX.
ὃς μέν = *ὁ μέν* 7, 2. Demosth.
ὀχλῶ turbo. 15, 2. Aristot.
παραλλάττω praetergredior, longe a tergo relinquo. 35, 2. Aristot.
παρατηρῶ astute et insidiose observo. 9, 2. Aristot.
πάσχω laboro, aegrotus sum. 26, 1. Hippocr.
περιάγω circumeo. 6, 3. (cdd. Pa. M.). nov. test.
περιπατητικοί peripatetici. 13, 2. nomen peripateticorum non ante Ciceronem invenitur.
περιπλέκομαι πρός τινα amplector aliquem. 6, 2. nusquam alibi invenitur.
περισπάω distraho. 33, 3. Aristot.
περίστασις circumstantia, status, condicio. 38, 4. Aristot.
πικρός amarus 3, 1. = *πικρόχολος* Aristot.
πλάνος, ὁ, error, metaph. quinquies, velut 5, 3. non nisi in Tabula invenitur.
ποτήριον poculum. 5, 1. Prosae or. scriptorum usurpavit primus Ctes. ap. Athen.
προσκαταβαίνω descendo. 16, 4. Lucillus in Anthol. Pal.
πυλών vestibulum. 1, 3. Moeris p. 83. *Αὐλία θύρα Ἀττικοί, πυλὼν Ἕλληνες.* Pseudo-Aristot. de mundo.

συνομιλῶ colloquor. 13, 1. nov. test.
τὸ πέρας denique. 34, 3. Aeschin.
τραπεζίτης mensarius, numularius. 31, 3. Demosth. Antiquioribus usurpatum est *ὁ ἐπὶ τραπέζῃ*.
φιλοτίμως vehementer. Polyb.
ψευδοδοξία falsa opinio. 11, 2. Bud. tamquam antiquissimum testem citat Aristotelem. Plato loco hujus vocabuli usurpat *ψευδὴς δόξα* vel *ψεῦδος*.
ψευδοπαιδεία falsa eruditio. decies legitur in Tab. velut. 13, 1. Lucian.
ὧδε hic. 9, 2. 10, 4. 14, 4. 17, 3. huc 12, 3. 14, 2. 24, 3. LXX.
ὡσανεί tamquam. 33, 3. Polyb.